




SIGILL: COLL: HARVARD: CANTAB: NOV: ANGL: 1650.
CHRISTO ET ECCLESIAE
BOUGHT WITH
THE GIFT OF
WILLIAM GRAY,
OF BOSTON, MASS.
(Class of 1829).
Aug. 12, 1862.

HESIODI

THEOGONIA.

AD CODICVM FIDEM RECENSVIT

EDVARDVS GERHARDIVS.

BEROLINI MDCCCLVI.
TYPIS ET IMPENSIS GEORGII REIMERI.

IMMANVELI BEKKERO

ARISTARCHEAE DOCTRINAE ANTISTITI

SEMISAECVLARIA GRATVLATVR

EDITOR.

PRAEFATIO EDITORIS.

Cum quid de pristino Theogoniae Hesiodeae statu sentirem in peculiari commentatione academica nuper ita exposuissem, ut codicum fidem ad textum restituendum sufficere iudicarem, dummodo de Hesiodo vel alio unius carminis solo auctore somniare desineremus, hanc me sententiam firmaturum esse hoc ipso textu confisus sum, quem neque stropharum divisione neque correctionibus obelisve vexatum eruditorum examini subiicio. Quodsi C. F. Schoemannum, virum de Hesiodea poesi optime meritum, Theogoniam nostram ut unius poetae carmen ex ea ipsa vetustae poesis officina Attica, ex qua Homerica quoque carmina collecta atque digesta olim prodierant, deduxisse non ignoro, compositionem quidem Theogoniae aetati et officinae illi deberi libens et ipse concedo; de carminum autem quae in Theogonia continentur origine aliter sentire me iubent diversa, cum Hesiodi aliorumve poetarum, tum compositoris Pisistratei censorisque ipsi aequalis vestigia. Igitur in nova Theogoniae hac recensione Hesiodi aliorumque poetarum carmina ea, ex quibus

Onomacritus aliusve Pisistrato aequalis compositor veterum carminum theogonicum hunc, ut ita dicam, cyclum formasse videtur, in sectiones divisi, sectionum argumenta descripsi, genuinum cuiusque sectionis textum litteris maioribus excudi curavi, minores autem et minimos typos ita adhibui ut compositoris additamenta a recensionis posterioris laciniis distinguerem; denique varietatem lectionis, quatenus commodum id videbatur, notavi. Integram enim lectionum, correctionum, vindiciarum copiam si quis requiret, Muetzellii commentarius, Goettlingii Lennepiique editiones, Hermanni opuscula, Schoemanni dissertationes in promptu erunt.

Scribebam Berolini die X mensis Maii MDCCCLVI.

ARGVMENTVM THEOGONIAE.

I. 1—115. Prooemium continens Hesiodi hymnum in Musas (vs. 1—4 22—35 36—51 68—74 81—93. 104) cum alio eiusdem argumenti carmine (vs. 1 2 5—21 53—64 75—80 94—103) coniunctum, quod alternis versibus sub aemuli persona, Chalcide ab Hesiodo quondam victi (Ἔργ. 655), addidisse videtur primus Theogoniae compositor. Accedit eiusdem manu concinnata transitio ad ipsam Theogoniam (105—115).

II. 116—210. Sequitur carmen Hesiodeum de origine mundi atque numinum, Chaos et Terram, Erebum atque Noctem, Coeli Terraeque progeniem, Titanes maxime, denique Saturni Terraeque contra Coelum consilia Coelique castrationem describens. Alienam hic manum prodit non solum narratio de origine Veneris (186—206), sed etiam vexatissimus vetere interpolatione locus de Cyclopibus et Hecatonchiris (139—153).

III. 211—232. Sequitur Noctis progenies, multiplex et aerumnosa, quae quidem narratio non solum interpolata esse, sed etiam deteriorem aetatem prodere mihi videtur.

IV. V. 233—336. Sequitur Ponti eiusque liberorum, Nerei (IV. 233—264) Thaumantis (265—269) atque Phorcynis (V. 270—336), progenies. Excellit in hac sectione Nereidum catalogus, Homericum genus dicendi spirans (240—264); fabulas autem ad genus Phorcynis spectantes inde a versu 276 a primo compositore Theogoniae additas neque ab interpolationibus posteris liberas esse apparet.

VI. VII. 337—413. Titanum Titanidumque nomina atque progenies, incipiens ab Oceani liberis. Inest Fluminum Oceanidumque catalogus (VI. 337—370), qui deterioris aetatis esse, narratioque de Styge (VII. 389—403), quae, quanquam antiqua poesi dignior, a compilatoris manu et ipsa profecta esse videtur.

VIII. 411—452. Hymnus in Hecaten hic insertus, Onomacriti sive aequalis ipsi poetae manum prodens, alternis versibus subornatus est ex altera recensione profectis.

IX. 453—506. Narratio de Saturno atque Rhea partuque Jovis; annexa est ab alia manu (501—506) liberatio Cyclopum.

X. 507—590. Narratio de Iapeti filiis, ex variis reliquiis antiquae poesis conflata. Narratur inprimis (535—590) fraus Jovi facta a Prometheo, cum de sacrificiis ordinandis Sicyone ageretur; sequitur formatio mulieris, in generis humani damnum a Jove deorum hominumque patre creata. Inserta est criminatio sexus muliebris (591—612), quae alienam manum et ipsa prodit.

XI. 617—735. Celebrantur Hecatonchires a Jove liberati et in auxilium deorum vocati (617—672); inserta huic carmini est alius poetae tumida narratio de clade Titanum (673—712), qui deinceps vincti et Hecatonchirum custodiae traditi in Tartaro degisse feruntur (713—735). Quae tamen de Titanum domicilio fabula in alterius recensionis versibus adhuc conservatis (721 740—745 807—819 cf. 736—739) eo differt, quod Hecatonchires Oceani ripas incolunt Neptunique affinitate gloriantur. Ceterum totum hoc carmen Atticam originem sapit.

XII. 744—806. Describitur domicilium Noctis et numinum inferorum; Stygis quoque et iurisiurandi deorum maiestas exponitur.

XIII. 820—868. Deorum pugna contra Typhoeum, simili modo quo Titanomachia (673 ss.), narratur; subiuncta est Ventorum descriptio (869—880).

XIV. XV. 881—962. Sequuntur Hesiodea de nuptiis et liberis deorum fragmenta. Praemisso compositoris exordio de regno numinum Jovi oblato (XIV. 881—885), exponuntnr primum Jovis matrimonia partusque Junonis (886—929), deinde aliorum numinum, Neptuni ex Amphitrite, Jovis ex Maia Semele atque Alcmena, Solisque progenies (XVI. 930—962).

XVI. 963—1022. In ultima hac sectione narrantur varii Dearum mortaliumque amores. Fuse de his actum iri promittitur, sed delibantur tantummodo Cereris Harmoniae atque Callirrhoes, Aurorae Medeae Nereidum nonnullarum atque Circes amores, scilicet ut feminarum illustrium narratio introducatur, de quibus Hesiodus in deperdito mulierum catalogo egerat. Haec igitur conclusio (1019—1022) una cum exordio ultimae sectionis (963—968) quin compositoris manu adiecta sit, dubitari non potest.

ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑ.

I.

1a *Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ᾽ ἀείδειν,*
2a *αἵθ᾽ Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,*
3 *καί τε περὶ κρήνην ἰοειδέα πόσσ᾽ ἁπαλοῖσιν*
4 *ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·*
22 *αἵ νύ ποθ᾽ Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν*
ἄρνας ποιμαίνονθ᾽ Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον·
25 *Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·*
ποιμένες ἄγραυλοι, κάκ᾽ ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα·
ἴδμεν δ᾽, εὖτ᾽ ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι,
30 *καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον*
δρέψασθαι, θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θέσπιν, ἵνα κλείοιμι τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,
καί μ᾽ ἐκέλονθ᾽ ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ᾽ αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
35 *ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;*

1b *Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ᾽ ἀείδειν,*
2b *αἵθ᾽ Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,*
5 *καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο*
ἢ Ἵππου κρήνης ἢ Ὀλμειοῦ ζαθέοιο
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο,
καλοὺς ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσσίν.

ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννυχίαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην,
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάωνα γεήοχον ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην,
Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην,
Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.

Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι. τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ, ἠχεῖ δέ κάρη νιφόεντος Ὀλύμπου,
δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ,
ἐξ ἀρχῆς οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτον·
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων·
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ, λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεΐ τε μέγιστος.
αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε Γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου.
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰςκαταβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,

μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
60 ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσῃς,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
63 ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά·
67 ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.
64 πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν.
65 ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι
66 μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνά.

68 αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
70 ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει
νισσομένων πατέρ' εἰς ὅν. ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν,
κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.

75 ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε,
Τερψιχόρη τ' Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπάσεων.
80 ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
85 πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
90 ῥηιδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι,

οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.

ἐκ γάρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταὶ
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος ὅντινα Μοῦσαι
φίλωνται, γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκήδεϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεοὺς οἳ Ὄλυμπων ἔχουσιν,
αἶψ' ὅγε δυςφρονέων ἐπιλήθεται, οὐδέ τι κήδεων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.

Χαίρετε τέκνα Διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος
Νυκτός τε δνοφερῆς, οὓς θ' ἁλμυρὸς ἔτρεφε Πόντος,
εἴπατε δ' ὡς ταπρῶτα θεοὶ καὶ Γαῖ' ἐγένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων,
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς ταπρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ἐξ ἀρχῆς καὶ εἴπαθ' ὅ τι πρῶτον γένετ' αὐτῶν.

II.

Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί,
ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
Τάρταρα τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελής, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβος τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι·

ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·
γείνατο δ' Οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους.
130 Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
ἡ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρεῖον θ', Ὑπερίονά τ' Ἰαπετόν τε,
135 Θείαν τε Ῥεῖάν τε, Θέμιν τε Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.

γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
140 Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀμβριμόθυμον·
141 οἳ Ζηνὶ βρόντην τ' ἔδοσαν τεῦξάν τε κεραυνόν·
144 Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
145 κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ.
143 μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
142 οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
146 ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργῳ.
147 Ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
148 τρεῖς παῖδες μεγάλοι καὶ ὄμβριμοι, οὐκ ὀνομαστοί,
149 Κόττος τε Βριάρεώς τε Γύης θ' ὑπερήφανα τέκνα,
151 ἄπλαστοι· κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
152 ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
150 τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο,
153 ἰσχὺς δ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.

154 Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
155 δεινότατοι παίδων, σφετέρῳ ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς. καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε,
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός· ἡ δ' ἐντὸς στεναχίζετο Γαῖα πελώρη
160 στεινομένη, δολίην δὲ κακὴν ἐφράσσατο τέχνην.
αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν.
εἶπε δὲ θαρσύνουσα φίλον τετιημένη ἦτορ·
παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴκ' ἐθέλητε

πείθεσθαι, πατρός κε κακὴν τισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐτῶν
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
ἂψ αὖτις μύθοισι προςηύδα μητέρα κεδνήν·
μῆτερ, ἐγώ κεν τοῦτό γ᾽ ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυςωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου, πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
εἷσε δέ μιν κρύψασα λόχῳ, ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα, δόλον δ᾽ ὑπεθήκατο πάντα.
ἦλθε δὲ Νύκτ᾽ ἐπάγων μέγας Οὐρανὸς, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ᾽ ἐτανύσθη
πάντῃ· ὁ δ᾽ ἐκ λοχεοῖο πάις ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρήν, καρχαρόδοντα, φίλου δ᾽ ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ᾽ ἔρριψε φέρεσθαι
ἐξοπίσω· τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός.
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας δέξατο Γαῖα· περιπλομένων δ᾽ ἐνιαυτῶν
γείνατ᾽ Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας
τεύχεσι λαμπομένους, δόλιχ᾽ ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ᾽ ἃς Μελίας καλέουσ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν.

μήδεα δ᾽ ὡς τοπρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ᾽ ἀπ᾽ ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ᾽ ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ᾽ ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ᾽ ἔνι κούρη
ἐθρέφθη, πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ᾽, ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
ἐκ δ᾽ ἔβη αἰδοίη καλὴ θεὸς, ἀμφὶ δὲ ποίη
ποσσὶν ὑπὸ ῥαδινοῖσιν ἀέξετο· τὴν δ᾽ Ἀφροδίτην
ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ᾽ ἐν ἀφρῷ
θρέφθη, ἀτὰρ Κυθέρειαν ὅτι προςέκυρσε Κυθήροις.
Κυπρογενέα δ᾽, ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ,
ἠδὲ φιλομμειδέα ὅτι μηδέων ἐξεφαάνθη.
τῇ δ᾽ Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς
γεινομένῃ ταπρῶτα θεῶν τ᾽ ἐς φῦλον ἰούσῃ.

ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὀάρους μειδήματά τ' ἐξαπάτας τε
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.

Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν
παῖδας νεικείων μέγας Οὐρανὸς οὓς τέκεν αὐτός.
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.

III.

Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
οὔτινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή.
δεύτερον αὖ Μῶμον καὶ Ὀϊζὺν ἀλγινόεσσαν.
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν.
καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,
αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅςτις ἁμάρτῃ.
τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε Φόνους τε, Μάχας τ' Ἀνδροκτασίας τε,
Νείκεά τε Ψεύδέα τε Λόγους Ἀμφιλογίας τε,
Δυςνομίην Ἄτην τε, συνήθεας ἀλλήλοισιν,
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

IV.

Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
πρεσβύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμίστων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν·

αὖτις δ᾽ αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν,
Γαίῃ μισγόμενος, καὶ Κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ᾽ ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ᾽ ἐγένοντο μεγήρατα τέκνα θεάων,
πόντῳ ἐν ἀτρυγέτῳ, καὶ Δωρίδος ἠϋκόμοιο,
κούρης Ὠκεανοῖο τελήεντος ποταμοῖο,
Πρωτώ τ᾽ Εὐκράντη τε, Σαώ τ᾽ Ἀμφιτρίτη τε,
Εὐδώρη τε Θέτις τε, Γαλήνη τε Γλαύκη τε,
Κυμοθόη Σπειώ τε, Θόη θ᾽ Ἁλίη τ᾽ ἐρόεσσα,
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαυή,
Πασιθέη τ᾽ Ἐρατώ τε καὶ Εὐνίκη ῥοδόπηχυς·
Δωτώ τε Πρωτώ τε Φέρουσα τε Δυναμένη τε,
Νησαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια,
Δωρὶς καὶ Πανόπη καὶ εὐειδὴς Γαλάτεια,
Ἱπποθόη τ᾽ ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς,
Κυμοδόκη θ᾽ ἣ κύματ᾽ ἐν ἠεροειδεϊ πόντῳ
πνοιάς τε ζαθέων ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ·
Κυμώ τ᾽ Ἠιόνη τε ἐϋστέφανός θ᾽ Ἁλιμήδη,
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια,
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια,
Πουλυνόμη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα,
Εὐάρνη τε φυήν τ᾽ ἐρατὴ καὶ εἶδος ἄμωμος,
καὶ Ψαμάθη, χαρίεσσα δέμας, δίη τε Μενίππη,
Νησώ τ᾽ Εὐπόμπη τε, Θεμιστώ τε Προνόη τε
Νημερτής θ᾽, ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ᾽ εἰδυῖαι.

V.

Θαύμας δ᾽ Ὠκεανοῖο βαθυρρείταο θύγατρα
ἠγάγετ᾽ Ἠλέκτρην· ἡ δ᾽ ὠκεῖαν τέκεν Ἶριν
ἠϋκόμους θ᾽ Ἅρπυιας, Ἀελλώ τ᾽ Ὠκυπέτην τε,
αἵ ῥ᾽ ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ᾽ ἕπονται
ὠκείῃς πτερύγεσσι, μεταχρονίαι γὰρ ἴαλλον.

Φόρκυϊ δ᾽ αὖ Κητὼ Γραίας τέκε καλλιπάρῃος,

ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεφρηδώ τ' εὔπεπλον Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ' αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
ἐσχατιῇ πρὸς Νυκτὸς, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.

ἡ μὲν ἔην θνητή, αἱ δ' ἀθάναται καὶ ἀγήρω,
αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι.
τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ', ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.
χὼ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους, Ζηνὸς δ' ἐν δώμασι ναίει,
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκε τρικάρηνον Γηρυονῆα,
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.
τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶ παρ' εἰλιπόδεσσι περιρρύτῳ εἰν Ἐρυθείῃ,
ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲν ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆι ἐνὶ γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε.
ποίκιλον ὠμηστήν, ζαθέης ὑπὸ κεύθεσι γαίης.
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.
ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
Τῇ δὲ Τυφάονά φασι μεγήμεναι ἐν φιλότητι,
δεινόν θ' ὑβριστήν τ' ἄνομόν θ' ἑλικώπιδι κούρῃ·
ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆι·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον οὔτι φατειὸν
Κέρβερον, ὠμηστήν, Ἀΐδεω κύνα χαλκεόφωνον·

πεντηκοντακάρηνον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο λύγρ' εἰδυῖαν,
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλεϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηιφίλῳ Ἰολάῳ
Ἡρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.
Ἡ δὲ Χίμαιραν ἔτικτε πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε, ποδώκεά τε κρατερήν τε.
τῆς δ' ἦν τρεῖς κεφαλαί, μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ' ὄφιος, κρατεροῖο δράκοντος·
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·
τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.
Ἡ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε, Καδμείοισιν ὄλεθρον,
Ὄρθῳ ὑποδμηθεῖσα, Νεμειαῖόν τε λέοντα,
τόν ῥ' Ἥρη θρέψασα, Διὸς κυδρὴ παράκοιτις,
γουνοῖσιν κατένασσε Νεμείης, πῆμ' ἀνθρώποις.
ἔνθ' ἄρ' ὅγ' οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων Τρητοῖο Νεμείης ἠδ' Ἀπέσαντος·
ἀλλά ἑ ἲς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον Φόρκυι φιλότητι μιγεῖσα
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης
πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.
τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστί.

VI.

Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας·
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε Ῥῆσόν τ', Ἀχελώϊον ἀργυροδίνην
Νέσσον τε, Ῥόδιόν θ' Ἀλιάκμονά θ' Ἑπτάπορόν τε,
Γρηνικόν τε καὶ Αἴσηπον θεῖόν τε Σιμοῦντα,
Πηνειόν τε καὶ Ἕρμον ἐϋρρείτην τε Κάϊκον,
Σαγγάριον τε μέγαν, Λάδωνά τε Παρθένιόν τε,
Εὔηνόν τε καὶ Ἄρδησκον θεῖόν τε Σκάμανδρον.

Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι σὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖς, ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι·

Πειθώ τ᾽ Ἀδμήτη τε, Ἰάνθη τ᾽ Ἠλέκτρη τε,
Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδής,
Ἱππώ τε Κλυμένη τε, Ῥόδειά τε Καλλιρόη τε,
Ζευξώ τε Κλυτίη τε, Ἰδυῖά τε Πασιθόη τε,
Πληξαύρη τε Γαλαξαύρη τ᾽ ἐρατή τε Διώνη,
Μηλόβοσίς τε Θόη τε καὶ εὐειδὴς Πολυδώρη,
Κερκηίς τε φυὴν ἐρατὴ Πλουτώ τε βοῶπις,
Περσηίς τ᾽ Ἰάνειρά τ᾽ Ἀκάστη τε Ξάνθη τε,
Πετραίη τ᾽ ἐρόεσσα Μενεστώ τ᾽ Εὐρώπη τε,
Μῆτίς τ᾽ Εὐρυνόμη τε Τελεστώ τε κροκόπεπλος,
Χρυσηίς τ᾽ Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψώ,
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε,
καὶ Στύξ, ἣ δὴ σφέων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ᾽ Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι. πολλαί γε μὲν εἰσι καὶ ἄλλαι·
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντη ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα·
τόσσοι δ᾽ αὖθ᾽ ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς.
τῶν ὄνομ᾽ ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνισπεῖν,
οἳ δὲ ἕκαστοι ἴσασιν, ὅσοι περιναιετάουσι.

VII.

Θεία δ᾽ Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ᾽, ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ᾽ ὑποδμηθεῖσ᾽ Ὑπερίονος ἐν φιλότητι.
Κρείῳ δ᾽ Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων,
Πέρσην θ᾽ ὃς πάσῃσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ᾽ Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
ἀργέστην Ζέφυρον Βορέην τ᾽ αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
τοὺς δε μέτ᾽ ἀστέρα τίκτεν Ἑωςφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα τάτ᾽ οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ᾽ ἔτεκ᾽ Ὠκεανοῦ θυγατὴρ Πάλλαντι μιγεῖσα
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι,

καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα.
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη
οὐδ' ὁδὸς ὅππη μὴ κείνοις θεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.

ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ' ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσι·
τὸν δ' ἔφαθ', ὅςτις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβήσεμεν ἣ θέμις ἐστίν.
ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.
τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν·
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοῦ μεταναιέτας εἶναι.
ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥςπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.

Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι,
Λητὼ κυανόπεπλον ἐγείνατο μείλιχον αἰεί,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι.
μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου.
γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
411a ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
412a Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
413a μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.

VIII.

411b [Ἀείδω Ἑκάτην Περσηίδα], τὴν περὶ πάντων
412b Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
413b μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
414 Ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
415 ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.

καὶ γάρ νῦν, ὅτε πού τις ἐπιχϑονίων ἀνϑρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ' οὗ πρόφρων γε ϑεὰ ὑποδέξεται εὐχάς,
420 καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.
427 καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ ϑαλάσσῃ.
421 ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων,
οὐδέ τι μιν Κρονίδης ἐβιήσατο, οὐδέ τ' ἀπηύρα
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι ϑεοῖσιν,
425 ἀλλ' ἔχει ὡς τοπρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.

426 οὐδ' ὅτι μουνογενής, ἧσσον ϑεὰ ἔμμορε τιμῆς,
428 ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν.
ᾧ δ' ἐϑέλει, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
430 ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει ὅν κ' ἐϑέλῃσιν.

ἡ δ', ὁπότ' ἐς πόλεμον φϑισήνορα ϑωρήσσωνται
ἀνέρες, ἔνϑα ϑεὰ παραγίγνεται, ᾧ κ' ἐϑέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι.
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καϑίζει.

435 ἐσϑλὴ δ' αὖϑ' ὁπότ' ἄνδρες ἀγῶνι ἀεϑλεύωσιν·
ἔνϑα ϑεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησι.
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεϑλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦσι τε κῦδος ὀπάζει.

ἐσϑλὴ δ' ἱππήεσσι παρεστάμεν οἷς κ' ἐϑέλῃσι,
440 καὶ τοῖς οἳ γλαυκὴν δυςπέμφελον ἐργάζονται.
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ.

ῥηιδίως δ' ἄγρην κυδρὴ ϑεὸς ὤπασε πολλήν.
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐϑέλουσά γε ϑυμῷ.

ἐσϑλὴ δ' ἐν σταϑμοῖσι σὺν Ἑρμῇ ληίδ' ἀέξειν,
445 βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν,
ποίμνας τ' εἰροπόκων ὀΐων, ϑυμῷ γ' ἐϑέλουσα.
ἐξ ὀλίγων βριάει, κὰκ πολλῶν μείονα ϑῆκεν.

οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀϑανάτοισι τετίμηται γεράεσσι·
450 ϑῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφϑαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.

οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἵδε τε τιμαί.

IX.

Ῥεῖα δ' ὑποδμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα
Ἱστίην Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον,
ἰφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὅςτις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληίδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
καὶ κρατερῷ περ ἐόντι· Διὸς μεγάλου διὰ βουλάς·
τῷ ὅγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο.
παίδων οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην ὅσαπερ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆι καὶ υἱέι καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τέκεσθαι,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆι.
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδὺν,
σχέτλιος· οὐδ' ἐνόησε μετὰ φρεσὶν ὥς οἱ ὀπίσσω

ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε, βίῃ καὶ χερσὶ δαμάσσας,
τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἄψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης·
νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο·
πρῶτον δ' ἐξήμεσσε λίθον, πύματον καταπίνων.
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο,
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν.
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τοπρὶν δὲ πελώρη Γαῖα κεκεύθει.
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.

X.

Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰςανέβαινεν.
ἣ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα,
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα,
ποίκιλον αἰολόμητιν, ἁμαρτίνοον τ' Ἐπιμηθέα.

ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα,
παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρυόπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης πρόπαρ Ἑσπερίδων λιγυφώνων
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσι·
ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας,

καί οἱ ἐπ᾽ αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ᾽ ἧπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ᾽ ἀέξετο ἶσον ἁπάντῃ
νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
τὸν μὲν ἄρ᾽ Ἀλκμήνης καλλισφύρου ἀλκιμὸς υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ᾽ ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ καὶ ἐλύσατο δυςφροσυνάων,
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὄφρ᾽ Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ᾽ ἢ τοπάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
ταῦτ᾽ ἄρα ἁζόμενος τίμα ἀριδείκετον υἱόν·
καίπερ χωόμενος παύθη χόλου ὃν πρὶν ἔχεσκεν,
οὕνεκ᾽ ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.

καὶ γὰρ ὅτ᾽ ἐκρίνοντο θεοὶ θνητοί τ᾽ ἄνθρωποι
Μηκώνῃ, τότ᾽ ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προύθηκε, Διὸς νόον ἐξαπαφίσκων.
τοῖς μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ·
τῷ δ᾽ αὖτ᾽ ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἰαπεπονίδη, πάντων ἀριδείκετ᾽ ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὸν δ᾽ αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ᾽ ἐπιμειδήσας, δολίης δ᾽ οὐ λήθετο τέχνης·
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶνδ᾽ ἑλεῦ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ᾽, ἄφθιτα μήδεα εἰδὼς,
γνῶ ῥ᾽ οὐδ᾽ ἠγνοίησε δόλον· κακὰ δ᾽ ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλεν.
χερσὶ δ᾽ ὅγ᾽ ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφα·
χώσατο δὲ φρένας, ἀμφὶ δέ μιν χόλος ἵκετο θυμὸν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
ἐκ τοῦ δ᾽ ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
καίουσ᾽ ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδὼς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπελήθεο τέχνης.

Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δὴ ἔπειτα, δόλου μεμνημένος αἰεὶ,
οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοίλῳ νάρθηκι· δάκεν δέ ἑ νειόθι θυμόν.
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδ' ἐν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι·
γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατακρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·
ἀμφὶ δέ οἱ στεφάνους, νεοθήλεας ἄνθεσι ποίης,
ἱμερτοὺς παρέθηκε καρήατι Παλλὰς Ἀθήνη·
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ' ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
τῶν ὅγε πολλ' ἐνέθηκε, χάρις δ' ἀπελάμπετο πολλὴ,
θαυμάσια, ζωοῖσιν ἐοικότα φωνήεσσιν.
Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ' ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀμβριμοπάτρης.
θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπὺν, ἀμήχανον ἀνθρώποισιν.
ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.
τῆς γὰρ ὀλώιόν ἐστι γένος καὶ φῦλα γυναικῶν,
πῆμα μέγ', αἳ θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.

ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων,
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα

ἠματίαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους,
ἀλλοτρίων κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων. ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται,
χήτει γηροκόμοιο, ὅγ' οὐ βίοτου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί. ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.

Ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολύιδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.

XI.

Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης.
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες
εἵατ' ἐπ' ἐσχατιῇ μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.

δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοὶ,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ, δωτῆρες ἐάων,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα.
οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινὴν,
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα·
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίον ἐν δαῒ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε, δυςηλεγέος ἀπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο, τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφαύσκεαι, ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
ἄψορρον δ' ἐξαῦτις, ἀμειλίκτων ἀπὸ δεσμῶν,
σῇσιν ἐπιφροσυνῇσιν ὑπὸ ζόφου ἠερόεντος
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηιότητι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'· ἐπῄνησαν δὲ θεοὶ, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς

μᾶλλον ἔτ᾽ ἢ τοπάροιθε. μάχην δ᾽ ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωςδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ᾽ ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.

οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ᾽ ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως, χειρῶν τε βίης θ᾽ ἅμα ἔργον ἔφαινον
ἀμφότεροι. δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ᾽ ἐσμαράγησεν, ἐπέστενε δ᾽ οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δ᾽ ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὕπ᾽ ἀθανάτων· ἔνοσις δ᾽ ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα ποδῶν, αἰπεῖα τ᾽ ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων,
ὥς ἄρ᾽ ἐπ᾽ ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ᾽ ἀμφοτέρων ἵκετ᾽ οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὐδ᾽ ἄρ᾽ ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τογε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην. ἄμυδις δ᾽ ἄρ᾽ ἀπ᾽ οὐρανοῦ ἠδ᾽ ἀπ᾽ Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστραπῇ εὖ ποτέοντο
χειρὸς ἀπὸ στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη, λάκε δ᾽ ἀμφὶ πυρὶ μεγάλ᾽ ἄσπετος ὕλη.
ἔζει δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα
πόντος τ᾽ ἀτρύγετος· τοὺς δ᾽ ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ᾽ ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ᾽ ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ᾽ ἄντα

ὀφθαλμοῖσιν ἰδεῖν ἠδ᾽ οὔασιν ὄσσαν ἀκοῦσαι
αὔτως, ὡς ὅτε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει,
τῆς μὲν ἐρειπομένης, τοῦ δ᾽ ὑψόθεν ἐξεριπόντος.
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
σὺν δ᾽ ἄνεμοι ἔνοσίν τε κόνιν θ᾽ ἅμα ἐσφαράγιζον
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ᾽ ἰαχήν τ᾽ ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ᾽ ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ᾽ ἀνεφαίνετο ἔργων.
ἐκλίνθη δὲ μάχη· πρὶν δ᾽ ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.

οἳ δ᾽ ἄρ᾽ ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεως τε Γύης τ᾽ ἄατος πολέμοιο,
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ᾽ ἐσκίασαν βελέεσσι
Τιτῆνας. καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ᾽ ὑπὸ γῆς ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης.
ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων,
οὐρανόθεν κατιὼν, δεκάτῃ ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ᾽ αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων,
ἐκ γαίης κατιὼν, δεκάτῃ ἐς Τάρταρον ἵκοι.
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρὴν, αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο·
τοῖς οὐκ ἐξιτόν ἐστι, πύλας δ᾽ ἐπέθηκε Ποσειδέων
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν,
ἔνθα Γύης Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.

---

721 ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα
740 χάσμα μέγ'· οὐδέ κε πάντα τελέσφορον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο,
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλῃ
ἀργαλέη· δεινόν γε καὶ ἀθανάτοισι θεοῖσι
744a τοῦτο τέρας, καὶ Νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
745a ἕστηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσι.
736 Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος 807
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος 808
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν 809
739 ἀργαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ. 810
811 ἔνθα δὲ μαρμαρέαι τε πύλαι καὶ χαλκέος οὐδὸς,
ἀστεμφὴς, ῥίζῃσι διηνεκέεσσιν ἀρηρὼς,
αὐτοφυής· πρόσθεν δὲ, θεῶν ἔκτοσθεν ἁπάντων,
Τιτῆνες ναίουσι πέρην Χάεος ζοφεροῖο.
815 αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις
Κόττος τ' ἠδὲ Γύης· Βριάρεών γε μὲν ἠῢν ἐόντα
γάμβρον ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.

XII.

744b [Ἔνθα δὲ μητρὸς] Νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
745b ἕστηκεν, νεφέλῃς κεκαλυμμένα κυανέῃσι,
731 χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.
746 Τῶν πρόσθ' Ἰαπετοῖο πάις ἔχει οὐρανὸν εὐρὺν,
ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσιν,
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν
750 χάλκεον· ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
ἔρχεται. οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται·
755 ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,

Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ᾽ αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν
οὐρανὸν εἰςανιὼν, οὐδ᾽ οὐρανόθεν καταβαίνων.
τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ᾽ ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων, ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,
ἰφθίμου τ᾽ Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης,
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειὴς, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ᾽ οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα.
ἰφθίμου τ᾽ Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀνθρώποισι,
δεινὴ Στὺξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ᾽· ἀμφὶ δὲ πάντῃ
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
ἀγγελίης πωλεῖται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης,
ὁππότ᾽ ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται,
καί ῥ᾽ ὅςτις ψεύδηται Ὀλύμπια δώματ᾽ ἐχόντων·
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ,
ψυχρὸν, ὅτ᾽ ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο,
ὑψηλῆς. πολλὸν δέ θ᾽ ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας· δεκάτη δ᾽ ἐπὶ μοῖρα δέδασται.
ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνῃς ἀργυρέῃς εἱλιγμένος εἰς ἅλα πίπτει,
ἡ δὲ μί᾽ ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσιν.
ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,

κεῖται νήυτμος τετελεσμένον εἰς ἐνιαυτὸν,
οὐδέ ποτ᾽ ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά γε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ᾽ ἐπὶ κῶμα καλύπτει.
αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτὸν,
ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.
εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ᾽ ἐς βουλὴν ἐπιμίσγεται οὐδ᾽ ἐπὶ δαῖτας,
ἐννέα πάντ᾽ ἔτεα· δεκάτῳ δ᾽ ἐπιμίσγεται αὖτις
εἰρέας ἀθανάτων οἳ Ὀλύμπια δώματ᾽ ἔχουσι.
τοῖον ἄρ᾽ ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
ὠγύγιον, τό θ᾽ ἵησι καταστυφέλου διὰ χώρου.

XIII.

Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ᾽ οὐρανοῦ ἐξέλασε Ζεὺς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη
Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην.
οὗ χεῖρες μὲν ἔασιν ἐπ᾽ ἰσχύι ἔργματ᾽ ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελειχμότες, ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ᾽ ὀφρύσι πῦρ ἀμάρυσσε.
πασέων δ᾽ ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο.
φωναὶ δ᾽ ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
παντοίην ὄφ᾽ ἱεῖσαι ἀθέσφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ᾽ ὥςτε θεοῖσι συνιέμεν, ἄλλοτε δ᾽ αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου,
ἄλλοτε δ᾽ αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ᾽ αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ᾽ ἀκοῦσαι,
ἄλλοτε δ᾽ αὖ ῥοίζεσχ᾽, ὑπὸ δ᾽ ἤχεεν οὔρεα μακρά.
καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
σκληρὸν δ᾽ ἐβρόντησε καὶ ὄμβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,

παντός τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ὑπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον,
βροντῆς τε στεροπῆς τε πυρός τ' ἀπὸ τοῖο πελώρου,
πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει.
τρέσσ' Ἀΐδης ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες.
ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηιοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθείς, στενάχιζε δὲ γαῖα πελώρη·
φλὸξ δὲ κεραυνωθέντος ἐπέσσυτο τοῖο ἄνακτος
οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς, παιπαλοέσσης,
πληγέντος. πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο, κασσίτερος ὣς
τέχνῃ ὕπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθείς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ ὑφ' Ἡφαίστου παλάμῃσιν·
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
ῥῖψε δέ μιν θυμῷ ἀκαχὼν ἐς Τάρταρον εὐρύν.

Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι Νότου Βορέω τε καὶ ἀργέστεω Ζεφύροιο,
οἵ γε μὲν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ' ὄνειαρ·
αἱ δ' ἄλλαι μὰψ αὖραι ἐπιπνείουσι θάλασσαν.
αἳ δ' ἤτοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ.
ἄλλοτε δ' ἄλλαι ἀεῖσι, διασκιδνᾶσί τε νῆας
ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ

ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον.
αἱ δ᾽ αὖ καὶ κατὰ γαῖαν ἀπείριτον, ἀνθεμόεσσαν,
ἔργ᾽ ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.

XIV.

Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ᾽ ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν Ὀλύμπιον εὐρύοπα Ζῆν
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ᾽ ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐγκάτθετο νηδύν,
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος·
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχῃ Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν,
αὐτὰρ ἔπειτ᾽ ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα.
ἀλλ᾽ ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵτ᾽ ἔργ᾽ ὠρεύουσι καταθνητοῖσι βροτοῖσι·
Μοίρας θ᾽, ᾗς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρῄους,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ᾽ ἐρατεινήν.
τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων.
λυσιμελής· καλὸν δέ θ᾽ ὑπ᾽ ὀφρύσι δερκιόωνται.

Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ᾽ ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ᾽ Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ᾽ ἄρ᾽ αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ᾽ Ἥρην θαλερὴν ποιήσατ᾽ ἄκοιτιν·
ἣ δ᾽ Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε,
μιχθεῖσ᾽ ἐν φιλότητι θεῶν βασιλῆι καὶ ἀνδρῶν.

Αὐτὸς δ᾽ ἐκ κεφαλῆς γλαυκώπιδα Τριτογένειαν,
δεινὴν ἐγρεκύδοιμον ἀγέστρατον ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.

Ἥρη δ᾽ Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα,
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.

XV.

Ἐκ δ᾽ Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅςτε θαλάσσης
πυθμέν᾽ ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηι
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε
δεινούς, οἵτ᾽ ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηι πτολιπόρθῳ,
Ἁρμονίην θ᾽ ἣν Κάδμος ὑπέρθυμος θέτ᾽ ἄκοιτιν.

Ζηνὶ δ᾽ ἄρ᾽ Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ᾽ ἀθανάτων, ἱερὸν λέχος εἰςαναβᾶσα.
Καδμείη δ᾽ ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν,
μιχθεῖσ᾽ ἐν φιλότητι Διώνυσον πολυγηθέα.
ἀθάνατον θνητή, νῦν δ᾽ ἀμφότεροι θεοί εἰσιν.

Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην,
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.

Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.

Χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν·
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ' Ἀλκμήνης καλλίσφυρον ἄλκιμος υἱός,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι·
ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.

Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηὶς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῇσιν, Ἰδυῖαν καλλιπάρηον·
ἡ δέ νύ οἱ Μήδειαν ἐΰσφυρον ἐν φιλότητι
γείναθ', ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

XVI.

Ὑμεῖς μὲν νῦν χαίρετ', Ὀλύμπια δώματ' ἔχοντες·
νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος·
νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δήμητηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἐνὶ τριπόλῳ Κρήτης ἐν πίονι δήμῳ·
ἐσθλόν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
πᾶσαν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαυὴν καλλιπάρηον

Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης.
γείνατο καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.

Κούρη δ' Ὠκεανοῦ, Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακληείη
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῳ εἰν Ἐρυθείῃ.

Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστὴν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱὸν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.

Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῆσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀμβριμοεργός.
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν παήσατ' ἄκοιτιν.
καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.

Αὐτὰρ Νηρῆος κοῦραι, ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην·
Πηλέϊ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι

Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑληέσσης.

Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε·
Τηλέγονόν τε ἔτικτε διὰ χρυσέην Ἀφροδίτην·
οἱ δ' ἤτοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆι Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.

Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

VARIETAS LECTIONVM.

I. 1—115. Prooemium in sectiones a me divisum sola repetitione versuum 1. 2 ac transpositione sectionum 22—35 et 5—21 ad genuinam compositoris recensionem revocare conatus sum. Antiphonas 1*b* 2*b* 5—21 53—66 75—80 ut a primo illo editore in aemulationem hymni Hesiodei confectas diversa scriptura distinxi; in antiphona 94—103, quam *διασκευαστὴς* ille ex antiquiore carmine desumpsisse videtur, non item feci. Primae autem recensioni praeterea adscripsi versus 25 52 105—107 111—115, alteri versus 46 65—67 (a me transpositos) 108—110.

1*a*—35 1*b*—21. In versu 24 Goettlingius dedit *ἔειπαν* ex codice V. 2. 28 *γηρύσασθαι* V 1 et auct. Schol. 31 alii *δρέψασαι*, etiam *δρεψάμεναι*. 32 recepi Goettlingii correctionem *θέσπιν, ἵνα κλείοιμι*, cum *θεῖαν ἵνα* vel *θείην ἵνα* sit lectio codicum, *θείην ὡς* (quod recepit Goettl.) sit et ipsum ex correctione profectum, *θεῖαν ἵνα* (quod recepit Lennepius) ferri vix possit. 33 *καί με κέλονθ'* G. L. 34 *ὕστατον* ex coniectura Wolfii Dindorfius atque Hermannus. 5—8 uncis inclusit Goettl. 5 *Τερμησσοῖο* Zenodoteum recepit G. *Περμησσοῖο* tuentur Nicander atque Hesychius; codicum fide nititur utrumque. simplex *σ* in codd. est frequentius. 6 *Ὀλμειοῦ* G. cum vulgata, *Ὁλμειοῦ* Par. B. Hemsterh. Lenn. 12 uncis inclusit G. 15 *Ποσειδάωνα γεήοχον* M 3. Herm. G. ceteri *Ποσειδάωνα γαιήοχον* et ita Lenn. 18. 19 inverso ordine secundum nonnullos codices dedit Wolfius; 18 post 20 ponendus videbatur Hermanno.

36 65 67 66. Versum 38 tollit Herm. de antiquiss. Hes. Theog. forma p. 7. 41 *αἰδοίων* Lenn. ex codd. P 2. P 6 It. 45 *ἔτικτον* dedi cum Par. 5 Wolf. Gaisf. Dind. ceteri (G. L.) cum Schol. Il. A 604 *ἔτικτεν*. 46 ut ex 111 huc male traiectum uncis inclusit G. 48 *λήγουσί τ'* G. *λήγουσαι* Scholia et codices praeter Bar. M 2 et ita Lenn. 62 bis 64 insititios credebat Herm. 63—67 uncis inclusit G. 64 *Χάριτες καὶ Ἵμερος* libri ut videtur omnes, *Χάριτές τε καὶ* ex Schol. Pind. Ol. IX, 39 G. et L. 65 *στόματ' ὄσσαν* G. ex Taur. cf. 40. ceteri *στόμα*, probante Herm. et Lenn. 67 *κλείουσαι* Herm. L. *κλείουσιν* G. et codices plures.

68—80. . 74 διέταξε νόμους coniecit Lennep. 79 ἦτε Herm. ἢ δὴ Dind. ἢ καὶ Io. Diac. ἢ σφέων Diod. IV, 7. libri ἡ δὲ sive ἥδε, ἢ δὲ G. ἡ δὲ Lenn.

81—103. 91 ἀν' ἀγῶνα ut Boeoticum praefert Goettl. praef. p. LIII ex Scholiis h. l. et Schol. Il. XXIV, 1. 94 ἐκ γάρ τοι Μουσάων codices plures, καὶ Ἀπόλλωνος ἑκάτοιο Lenn. ex Themistio.

Versus 105—115 uncis inclusit G. 108—110 versibus 105—107 anteponendos censebat Ritschelius; 111 deest apud Originem. Versus 114. 115 damnaverat Seleucus, 115 Aristarchus.

II. 116—210. In celeberrimo hoc eoque vexatissimo carmine theogonico adscripsi primae recensioni versus 119 123—125 139 140 144 145 142 146—152 (is enim genuinus eorum ordo videtur esse) atque 187—206, exceptis 196 199 200, quos una cum 118 130 141 150 153 186 alteri recensioni adiudicavi.

116—138. 116 Ἦτοι ab auctoribus prooemii excogitatum credit G. pro vetere lectione Πάντων quam bis habet Aristoteles; sed ἤτοι legitur etiam apud Plutarchum, Sextum Empiricum aliosque. 118. 119 omittuntur a Platone et Aristotele, tuetur utrumque Schoemannus. Versus 118 damnatus a scholiasta bis omissus est a Sexto Empirico, citatus a Cornuto et Theophrasto, uncis inclusus apud Goettl. 119 damnavit Herm. tuetur Schoemannus ut dependentem ab οἳ ἔχουσι. 121 λυσιμελὴς πάντων Herm. sine virgula. 122 δαμνᾷ τ' Herm. 125 deest apud Originem. 126 Γαῖα δὲ οἷ . . . παντόσε ἶσον Herm. αὐτῇ ἐΐσον coni. Lenn. 128 ὅς τ' εἴη Kockius, καλύπτῃ Lenn. genuinus hic versus videtur Schoemanno. 129 θεᾶν coni. Herm. 130 seclusit G. 131 ἡ δὲ καὶ M 1. Rehd. Herm. Lenn. 134 Κρεῖον codices omnes et ita L. Κρῖον G. 135 Θείην G. ex M 1. Ρεῖαν V 1. ceteri omnes Θεῖαν (sic etiam Etym. M. 449 et ita L.) et Ρείαν. Ῥέίην voluit Dind. 138 spurium censet Herm.

139—153. 139 ὑπέρβιον ὕβριν M 1. P 2. 140 ὀμβρ. hic et alias G. ὀβρ. Lenn. 141 uncis inclusit G. 142 οἱ δ' ἤτοι Herm. et G. pro vulgato οἳ δή τοι. Versum Cratetis argutia huic substitutum, quem offerunt Scholia,

οἱ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες,

a se receptum una cum 144 et 145 uncis inclusit Goettl. 144 Κύκλωπες δ' ἔσαν οὔνομ' ἐπώνυμοι, οὕνεκ' ἄρ' αὐτοῖς Etym. M. v. Κύκλωπες. 146 Ἰσχύς τ' ἠδὲ Βίη καὶ Μηχανή ut nomina propria legit Aem. Braunius Myth. gr. § 59. 148 μεγάλοι τε καὶ Herm. 149 fluctuant codices, fluctuaruntque Herodianus et Apollodorus inter lectiones Γύης et Γύγης. huic praeter Muetzellium et Lennepium favet etiam Welckerus (Tril. Aesch. p. 148), illud tuentur Bentleius Hermannus Goettlingius aliique; sed vide ad 734.

151. 152 insititios credebat Herm. 151 ἄπλατοι V 2. Gaisf. Dind. ἄπλητοι Herm. ut requisiverat grammaticus ille cui debetur versus 153.

154—187. 154 ὅσσοι δὲ V 1. Par. 6. ὅσσοι μὲν Herm. Scribi

poterat ὅσσοι δ᾽ ἄρ. 155 et 156 eiici iusserat Muetzellius. Particulam δ᾽ in σφετέρῳ δ᾽ ἤχθοντο delendam censui. 157 al. ἀποκρύπτασκε, etiam ἀνίησκε. 159 στοναχίζετο G. 160 ἀχνυμένη Seleucus. 161 ἐπεφράσσατο libri omnes et ita Lennepius, correxit Goettl. idem coniecit δολίην τε κακήν τ᾽. 165 πατέρος γε libri plures. 174 χερσὶν M 3. 178 alii λόχοιο, Ahrensius λεχρίοιο. 184 πᾶσας ἐδέξατο G. ex solo Bodl. πάσας δέξατο codices omnes et ita L. πάσας δείξατο Etym. Gud. p. 206. 186 deest in Bar. Bodl. uncis inclusit G.

188—206. 188 vulgo μήδεα θ᾽ ὡς, correxerunt G. et L. ex codd. 189 legebatur Ἠπείροιο, quod placebat etiam J. H. Vossio. 196 Ἀφρογένειαν θεὸν καὶ V. 2. ἀφρογενῆ Herm. spurios et hunc versum et 199. 200 censuerunt Wolf. Gaisf. atque Lennepius. 199 γένοιτο codices plures. 200 καὶ φιλομήδεα δ᾽ αὖ V 2. 201 usque ad 206 exclusit Kockius, tuetur Schoemannus.

Versus 207—210 obelis notarunt Wolfius aliique, tuentur Goettlingius et Schoemannus.

III. 211—232 ut peculiare carmen seiunxi, cui ex prima quidem recensione inserti videntur versus 215—222, ex altera versus 213. Suo loco haec omnia posita esse iudicant G. L. et Schoem. 213 et 214 transponi iussit Schoem. 217—222 uncis inclusit G. Κῆρας δ᾽ αὖ καὶ Μοίρας conecit Hermannus, νηλιτοποίνους Ruhnkenius; Μοῖραν pro Μοίρας legendum videbatur Braunio Myth. § 258. 220 ἐφέπουσιν M 3. Herm.

221 οὐ δέ ποτε Herm. 227 pro Λήθην Ruhnk. malebat Ἄτην, Heynius Λοιμὸν, Schoemannus Δῆριν. vulgatam tuetur Braunius Myth. § 262.

IV. 233—262. 235 θεμίστων M 3. alii θεμιστάων, θεμιστείων et similia, θεμιστέων G. et L. 240 μεγήριτα ut plurium codicum lectionem recepit L. 246 et 247 in nonnullis libris transpositi sunt. Θαλίη libri omnes, correxerat Valckenaerius, secuti sunt G. et L. 247 Εὐνείκη codices Etym. M. G. et L. Scripsi Εὐνίκη cum Apollodoro, Hermanno, Braunio. 248 est versus Homericus Il. XVIII, 43. Quod ibi quoque legitur Πρωτὼ (cf. vs. 243), mutaverunt alii in Πλωτὼ vel Κραντώ, alii sustentarunt (Braun Myth. § 79). 250 Πανόπεια καὶ Herm. 258 malim Αὐτονόμη cum Ald. Bas. Pro Λυσιάνασσα Hermannus volebat Λυσιάνειρα, Goettl. Ὑσιάνασσα. 260 καλή τε Μενίππη vel καὶ δῖα Μεν. placebat Goettlingio.

V. 265—336. Quae in hac sectione post Hesiodeos versus 265—275 fusius de Phorcynis progenie exponuntur seriorem que aetatem produnt, videntur a primo compositore Theogoniae ex alio fortasse carmine inserta hic esse; alteri recensioni adscripsi versus 271 272 282 283 300—302 312 323 324. 267 Ὠκυπόδην Apollodorus. 270 καλλιπάρῃος est Seleuci lectio in Scholiis, recepta a Goettlingio; codicum lectionem καλλιπαρῄους tuetur Lenn. παῖδας τέκε coniicit G. 275 scripsi Νυκτὸς pro νυκτός. 277 ταὶ δ᾽ Herm. 281 ἐξέθορε Χρυσάωρ G. cum codd. fere omnibus, ἔκθορε Χρ. Par. 2. Herm. Lenn. 282—286

uncis inclusit G. 283 γείνεϑ' libri plures, legitur ἔχων in aliis. 287 τρικάρηνον Flor. A. et marg. F. ceteri τρικέφαλον, unde τρικέφαλλον exsculpsit Muetzellius idque recepit Lennepius. 288 in libris nonnullis deest, quapropter audacius hunc locum tentavit G. 293 Ὄρϑρον alii. 300—303 uncis inclusit G. In codd. Taur. et Rehd. leguntur 303—305 ante 301 302, leguntur que in edd. nonnullis Heynio duce 304 305 post versum 300. Variarum recensionum vestigia hic agnoverunt Herm. et Goettl. quem vide. 307 secutus sum G. alii ὑβριστὴν ἄνομον ϑ' omisso τε, alii ἄνεμον ἑλιχ. (L.). Pro κούρῃ legitur νύμφῃ in Bodl. et Flor. C. 308 pro τέκετο alii habent τέκε vel τέτοκε, etiam γένετο. 312 alii πεντηκονταχέφαλον, quod mutatum in πεντηκοντακέφαλλον recepit Lenn. Ceterum subiungi poterat hic versus, ut ad Typhaonem spectans, versui 306. 323 versus intrusi ex Hom. Il. Z 181; versus 324 deest in M 3. Par. 326 Σφίγγ' ὀλοὴν libri omnes praeter V 2 et Scholia. 328 κυδνὴ G. 336 alii κὰκ vel καὶ ἐκ.

VI. 337—370. Fluminum huic catalogo addita conclusio inde a vs. 362 alienam originem prodere mihi videbatur. 340 Ἀχελώιόν τ' ἀργ. L. ex V 2. 341 Ῥοδίον G. ex M 3 pro Ῥόδιον. 342 malebant ϑεῖον Σιμόεντα vel Σιμόεντά τε ϑεῖον. 343. 344 inverso ordine leguntur in M 3. 352 Κλυτίη τ' Εἰδυῖά τε G. M 3 ex Scholiis pro Κλ. τε Ἰδυῖά τε vulgato. 357 Μενεστὼ G. ex V 2; Μενεσϑὼ Muetzell et Lennep cum ceteris. 358 Τελεστὼ G. ut codd. fere omnes; Τελεσϑὼ L. 359 Χρυσηὶς ex coniectura Hermanni in prima Goettlingii editione et a Lennepio receptum est, Κρηνηὶς scripsit Goettl. in altera ex M 3, Κρισσηὶς coniecerat Naekius; libri habent Κρυσηὶς, Κρησηὶς, Κρισίη, Κρησίη. 369 ἄνδρ' ἕν' ἐνισπεῖν V 2. Tr. 370 ὅσοι περιναιετάουσιν G. ex V 2; L. cum ceteris οἳ ἂν περιναιετάωσι.

VII. 371—413 a. Distinxi ut peculiare carmen versus 389—403 ad Stygem spectantes. 371 Θεία et λαμπρὰν codd. omnes et ita Lennep; Θείη et λαμπρὴν G. 373 ϑεοῖς τοὶ libri omnes; correxerunt Wolf. Herm. Goettl. Lenn. 374 ὑπευνηϑεῖσ' cod. A. 375 Κρείῳ L. Κρίῳ G. τέκεν ἐν G. L. ex V 2. Bar. ceteri τίκτεν. 377 ὅς καὶ πᾶσι codd. praeter It. et Bar. et ita Lenn. 379 Ἀργέστην, Ζέφυρον Goettl. quem vide; vulgatam tuetur Schoemannus cum L. 394 ὡς τὸ πάρος περ Herm. 399 δέδωκεν codices ut videtur omnes, ἔδωκεν G. L. ceteraeque editiones. 401 ἑοὺς G. L. 408 damnant Goettl. et Schoem. tuetur Lenn.

VIII. 411 b—452. Alternum huius carminis sermonem ita distinxi, ut priores eius partes primo Theogoniae compositori, antiphonae autem alteri recensioni attribuendae sint; praeterea transposui versum 427 post 420. 414 ἀπ' οὐρανοῦ alii, ἐπ' οὐρανοῦ volebat Goettl. 415 ϑεοῖς τετιμημένη V 2. 417 ῥέζων V 2. 419 οὗ Flor. E. Taur. Par. ceterorum lectionem ᾧ probarunt G. et L. ὑπεδέξατο M 1. 2. 429 παραγίνεται L. 430 ᾧ κ' ἐϑέλῃσιν V 1. 431 ϑωρήσσωνται V 2. G. L. ceteri ϑωρήσσονται vel ϑωρήσσοιντο. 434 ἐν δὲ Par. 438 το-

κεῦσι δὲ Bar. M 3. Ven. Steph. L. τοκεῦσί τε A. It. ceteri τοκεῦσιν et ita G. 440 Γλαύκην malebat G. 442 κυδνῇ G. 447 καὶ ἐκ G. 452 ὄντως Taur. In fine huius carminis lacunam statuerat Thierschius.

IX. 453—506. In hac sectione primae recensioni adscripsi versus 501—506, alteri 466 cum hemistichiis ipsi contiguis, 473 477—480 atque 496. 453 Ῥείη δ' αὖ δμηθεῖσα L. ex cod. A. Ῥεία ὑποδμ. G. ex aliis codd. Ceteri habent Ῥείη ὑποδμ. vel Ῥείη δ' ὑποδμ. 459 μέγας Κρόνος M 4, quod probant Herm. et L. 465 versum proscriptum a Wolfio Gaisfordo Dindorfio tuentur G. L. Schoem. Pro Διὸς alii habent πατρός. 466 τῷ δ' ἄρ' ὅγ' οὐκ, τῷ καὶ ὅγ' οὐκ (cf. Od. N 331), τῷ Κρόνος οὐκ coniecturae sunt Bentleii, Hermanni, Goettlingii. 467 Ῥέην codices omnes. 470 τοὺς αὐτῆς scribebatur ante Reizium. 473 uncis inclusit G. praeeunte Wolfio. παίδων θ' οὓς correxit Schoemannus. Κρόνος μέγας P 2. 477—484 uncis inclusit G. cf. 469 et 478, 477 et 482. 480 τρεφέμεν L. cum M 1. 2; τρέφεν V 1. 481 ἔνθα μιν scripsi cum Bodl. Herm. Lenn. Ceteri omnes habent ἔνθα μέν. 482 χειρὶ V 2. Taur. Par. πρῶτον δ' ἐς Λύκτον Taur. 484 Αἰγείῳ M 2 probat G. Ἀργαίῳ volebat Hoeckius. Ἰδαίῳ P 2. 486 spurium censebat Islerus. 487 alii ἐγκάτθετο, sed vide Goettl. 491 alii ἐξελάαν vel ἐξελάσαι. 492 usque ad 500 spurii videbantur iuveni Wolfio. 493 alii ἐπιπλομένου δ' ἐνιαυτοῦ. 496 uncis inclusit G. 497 ἐξήμεσσε ex corr. Hermanni G. et L. libri ἐξήμησε. 499 Παρνησοῖο G. L. alii Παρνασσοῖο. 501 usque ad 506 uncis inclusit G. Lacunae indicia hic vidit Hermannus.

X. 507—616. Diversa huius sectionis carmina distinxi post versus 512 534 570 593 et 612; ut ex primae recensione profectos notavi versus 523—531 591 592 613—616, ut ex altera versus 532 533 554—557 568 569 atque 593. Versus 512—516 alieno hic loco positos esse notat Goettl. 512 ἢ κακὸν coni. Herm. 513 Διὸς πλαστὴν scribi voluit Islerus. 514 ὑβριστὴν δ' ἄρ' ἔπειτα Μενοίτιον, omisso 513, coniecit Schoemannus. 519 ἀκαμάτῃσι G. ex Par. V 1 hic et 747 cf. 597; ceteri ἀκαμάτοισι. Spurium hunc versum censuerat Guyetus. 521 δῆσας ἀλυκτ. prava est grammaticorum veterum lectio, vide Goettl. 520—529 spurii videbantur Thierschio. 532 ταῦτ' ἄρ' ὅγ' ἀζόμενος Herm. ταῦτ' ἄρ' ἀγαζόμενος Goettl. Vulgatum ταῦτ' ἄρα ἀζόμενος defendit Schoemannus. 533 ὅνπερ V 2. 538 τοῖς μὲν scripsi Schoemannum secutus et codices Bodl. Emman. Vulgatum τῷ μὲν . . τῷ δὲ intelligunt ut positum pro 'hic .. illic'. 543 removet Herm. 544 μοῖραν Taur. 549 ἐλεῦ G. pro vulgato ἕλευ. 551—557 variarum recensionum vestigia hic prosecuti sunt Herm. et G. quem vide ad vs. 554. 553 ἄλειφα G. L. ex codd. pro vulgato ἄλειφαρ. ἀργέτα δημὸν habet Vat. in marg. 554 al. θυμῷ. ἀμφὶ δέ μιν χόλος G. ex codd. Vulgatum ἀμφὶ χόλος δέ μιν retinuit L. 557 post 566 legitur in M 2. ἐπελήθετο M 2. P 2. Lenn. ἐπιλήθεαι Taur. ἐπιλάθετο Emm. 562—564 damnavit Brunckius. 562 δ' ἤπειτα Lenn. 563 μελίοισι libri et

Scholia; correxerat Stephanus. 567 δάκεν δέ ἑ Herm. ex cod. Emm. quod, omisso 568, probant G. et L. receperunt tamen in textu δάκεν δ' ἄρα. Ceteri libri offerunt δάκεν δέ οἱ. 568 improbant G. et L. 574 κατὰ κρῆθεν secundum Aristarchi doctrinam scripsit Lenn. 576. 577 alienos hoc loco esse viderat Lehrsius. 576 νεοθηλέος coniecerat H. Stephanus (cf. Il. Ξ 347), placuit Wolfio. 577 περίθηκε vel περέθηκε Herm. 584 al. θαυμασίῃ. ζώοισιν G. pro ζωοῖσιν. Post eundem hunc versum Hesiodeos versus Ἔργ. 77—82 inseri iussit Twestenus; malit Schoemannus iungi Ἔργ. 84—89 cum versu 590. 585 αὐτὰρ ἐπεὶ τεῦξεν Herm. 587 ἀγαλλόμενοι V 1. Versus 590—612 ut spurios notarunt Heynius Wolfius Hermannus; solum 590 uncis inclusit G. 591 interpungebatur post γένος. 592 πῆμα μέγ', αἳ Herm. probat etiam G. Vulgo πῆμα μέγα θν. 593 ἀκόρεστοι Vat. M 1. P 2. 594 σίμβλοισι cod. RS. vide Herm. et G. 595 βόσκωσι Lenn. ex codd. 597 ἀκάματοι Herm. et Schoem. ἀκάμαται G. 600 γυναῖκα Taur. 605 ὅδ' Herm. Lenn. 609 τῷ δέ τ' Herm. G. L. pro vulgato τῷδέ τ'. 610 ἐμμενὲς coni. Wopkens.

XII. 617—735. Primae recensioni hic attribui versus 711 et 712, alteri versus 635—638 642 671—673 705; versum 731 transposui ante 746, denique seclusi quae sequuntur post 721 740. Postremum enim hunc locum sanasse mihi videor eo quem offero utriusque veteris lectionis textu: prioris quae continetur versibus 720 722—730 732—735, alteriusque quam ex versibus 721 740—745 736—739 811—819 eo confidentius conformare ausus sum, quo magis repetitio versuum 736—739 in vss. 807—810 manifesta est. 617 quod olim legebatur Βριάρεῳ δ' ὡς τὰ πρῶτα, correxit L. Dindorfius non invitis codd. Βριάρεῳ retinet Lenn. 622 al. εἵατο ἐσχατιῇ vel εἵατ' ἐν ἐσχατιῇ. 625 Ῥείη libri omnes, Ῥεῖα Goettl. 632 Ὄθρυος Boiss. G. L. pro vulgato Ὀθρύος. 634 Ῥείη libri omnes et L. Ῥεῖα G. 639 An παρέσχεθον? 642 al. ὡς νέκταρ τ' vel sine particula δ'. 648 al. ἐξεγένοντο. 650 ἐναντίοι G. ἐναντίον ut a pluribus codd. oblatum praefert L. 652 al. ὑπὸ δεσμοῦ. 653 spurius videbatur Wolfio. 656 ὅ τοι ex corr. Herm. pro vulgato ὅτι, quod retinet Lenn. 658. 659 G. ex Emman. ceteri inverso ordine 659. 658. 658 (659 L.) ἄψορρον ἐξαῦτις Lenn. al. ὑπὸ δεσμῶν, ita Voss. et Herm. 659 (658 L.) σῇσι δ' ἐπιφρ. L. 663 al. ἐνὶ κρατερῇ ὑσμίνῃ. 665 δὲ λιλαίετο Herm. 666 al. ἔγειραν. 669 Ὀβριάρεων — Ἐρέβευσφιν L. cf. Il. A 572. 671—673 ut repetitos ex 150 uncis inclusit Wolfius, tuetur Goettl. cf. Ἔργ. 149. 675 al. στιβαράς.

674—719. 676 varia hic tentarunt viri docti, vide Goettlingium. 677 ἔργα ἔφαινον Taur. 680 δὲ τινάσσετο Herm. 682 ποδῶν τ' αἰπεῖα ἰωὴ Herm. G. L. 687—712 insititios censet G. 687 ἴσχεν Dind. G. pro ἔσχεν. 691 Vulgo ἀστεροπῇ, alii ἀστραπῇ, cui εὖ ex Bar. addidit G. 692 φλόγα εἰλ. Herm. G. L. ex codd. ceteri φλόγα θ' εἰλ. aut φλόγα εἰλ. 695 al. ἔζεσε. 703 al. μέγας ὑπὸ δ'. 705 ut ex Hom. Il. Y 66 depromptum uncis incluserunt Gaisf. et Dind. 706 κονίην

τ' ἐσφαράγιζον G. L. ex M 1. σὺν δ' ἄνεμοί τ' ἔνοσίς τε κονίην ἐσφ. Schoem. 707. 708 omissi in Par. F. spurii videbantur Schoemanno. 709 al. κόναβος. ἄτλητος Etym. M. Muetz. Herm. ἄπληστος Zonaras.

720—735 sine 721. 731. 720 al. τόσσον δ' αὖ ἀπὸ γαίης ἐς Τάρτ. ἠερ. vel τόσσον γάρ τ'. damnaverat h. v. Ruhnkenius. 721—723 desunt in V 2. Emm. 723 et 724 in Taur. M 3. V 1. Versum 721 vide infra post 735. 723 ἐκ γαίης κατιὼν, δεκάτῃ δ' ἐς Τάρταρον ἵκοι Vat. 724 al. ἐννέα γάρ. 725 al. δεκάτῃ δ' et ἵκοιτο. Τάρταρον omnes praeter Vat. ex quo Τάρταρα recepit G. 730 Διὸς μεγάλοιο ἕκητι Emman. 732 al θύρας (Lenn.) vel χεῖρας. Ποσειδέων G. L. cum V 2. ceteri Ποσειδῶν vel Ποσειδάων. 733 τοῖχος G. hic et 726 811; lectionem τεῖχος defendit Schoemannus. τ. δὲ περοίχεται Herm. G. vulgo περίκειται δ'. 734 Γύης G. sine diversitate lectionis, Γύγης Lenn. codicum omnium fidem obtestans, quae si vera est, lectio Γύγης hoc loco atque etiam versibus 149 618 714 817 restituenda erit. καὶ Βριάρεως L. Κόττος τε καὶ Βρ. codices plurimi.

721 740 ss. 807—819. 721 in Vat. post 723 positus ita legitur: ἶσον δ' αὖ ἀπὸ γαίης ἐς Τάρταρον ἵκοιτο. 741 γένοιο P 1, ut una cum ἵκοιο lepide voluerat Guyetus. 742 scribendum videtur ἀλλά μιν. 743a—745 seclusit G. 743 an ἀργαλέῃ? in eodem versu scripsi δεινόν γε pro vulgato δεινόν τε, al. δεινὸν δέ. 744a τοῦτο τέρας νυκτὸς ἐρεβεννῆς omisso καὶ M 3. An ὅθι Νυκτός? 746 ἔχετ' οὐρανὸν G. L. ut teste Lennepio libri habent omnes, excepto Flor. C qui ἔσχετο. Scripsi ἔχει cum Hermanno, quod, si Goettlingio fidem habemus, legitur in M 3, scilicet eodem illo tertio codice Mediceo. 747 ἀκαμάτῃσι χέρεσσιν G. L. cum codd. fere omnibus; ἀκαμάτοις χείρεσσιν Par. A. 811 λάϊνος οὐδὸς Bar. 814 μένουσι codex collegii Emman. Cantabrigiensis.

XII. 744b 745b 731 746—806. Textus huius sectionis optime se habet, excepto exordio quod ex repetitis versibus 744 745 atque ex quasi desperato 731 Theogoniae restituisse mihi videor. 748 ἆσσον ἰοῦσαι G. ἀμφὶς ἰοῦσαι L. maiorem numerum codicum secutus. 755—757 secluserunt Wolf. Gaisf. Dind. 762 τῶν ἕτερος γαίην τε M 3. τῶν δ' M 1. Par. 764 σιδηρείη κραδίη Herm. ex Emman. 767 θεῶν χθονίων voluerat Guyetus. 774 male repetitus ex 768, in codd. nonnullis omissus, a VV. DD. inde a Ruhnkenio damnatus, necessarius videbatur Lennepio. 778 κατηρεφῆ M 3. 780—783 seclusit Wolfius, secutus Heynium, atque excepto 783 approbarunt Gaisf. et Dind. 781 ἀγγελίης ut Il. Λ 440 ex solo Emman. recepit G. Vulgatum ἀγγελίῃ a Buttmanno et longe maiori parte codicum commendatum conservat Lennepius. 783 al. ὅς κε. An καί ῥ' ὅτε τις? 795 al. νήποτμος, νηύποτμος, νούποτμος, νήυγμος. 797 ἀλλά τε G. L. ut codices omnes praeter Med. ἄμ' ἄπνευστος coni. Herm. ἀνάμπνευστος malebat G. 799 al. ἐπεί. 800 χαλεπώτερος G. L. et plurimi codices pro vulgato χαλεπώτατος. 801 ἐννάετες L. ἀπαμείρεται P 2. Muetzell p. 64. 802 al. περιμίσγεται.

Ruhnkenius coniecerat ἐπινίσσεται. 804 εἰρέας codd. omnes et ita G. L. εἴρας Ruhnk. Wolf. Dind. εἶρας ἐς coni. Herm. 806 τό θ' ἵησι Dind. G. L. pro vulgato τόδ'. κατὰ στυφελοῦ Par. Etym. M. cf. Hom. H. Merc. 124.

XIII. 820—880. Ut insititios ex altera recensione versus in hac sectione notavi 828 842 843 852 860 868 una cum hemistichiis versuum 872 873. 825 al. κρατεροῖο δράκοντος. 826 al. λελειχμότος. ἐν δέ οἱ ὄσσων coni. Heynius. 828 secluserunt Ruhnk. Wolf. G. alii πασέων ἐκ vel ἐκ πασέων. 830 ὄφ' ἱεῖσαι V 1. Par. 1. ὄσσ' ἱεῖσαι P 2. M 1. Vulgatum ὄπ' ἱεῖσαι retinent G. L. scilicet ut Aeolicum praestare videbatur Goettlingio coniecturae suae ὄπ', ἀκοῦσαι ἀθέσφατον. 831 ὥςτ' ἐνεοῖσι coni. Herm. 835 al. θαύματ' ἰδέσθαι. vulgatum ῥοίζασχ' quod retinet L. mutavit G. ex codd. 836 837 diversae recensioni tribuit Herm. ἤματ' ἐκείνῳ V 1. 843 ἐπεστενάχιζε L. cum vulgata; al. ὑπεστονάχιζε, ἐπεστονάχιζε vel ὑπεστενάχιζε quod adoptavi cum G. 846 πρηστήρων τ' ἀνέμων τε L. cum vulgata et multis codicibus. φλογόεντος M 3. 847 al. ἔζε πυρὶ, unde ζῆ δὲ πυρὶ ad normam verbi ἔπλη et similium effinxit G. 850 al. Ἀΐδης δ'. legebatur etiam τρέε δ' Ἀΐδης. 852 ut insititium notavit Herm. 858 al. γυρωθεὶς vel γυρωσθείς. 860 Ἀΐτνης Tzetzes. 863 κασσίτερος ὥς Dind. quod probat G. notatis cum Herm. ut ex alia recensione profectis 865 866. 866 τήκετο δ' M 3. 867 damnavit Ruhnk. 868 damnat G. in notis. 870 Ἀργεστέω Ζεφύρου τε G. cum M 1. 3. Vat. ἀργεστάω Ζεφύρου τε V 2. Taur. Βορέου τε καὶ ἀργέστου ζεφύρου τε V 1, item Par. nisi quod ζεφύροιο. Vulgatum καὶ ἀργέστεω Ζεφύροιο tuetur Schoem. hic ut supra vs. 379. 871 γενεῇ L. cum vulgata, γενεὴ G. ex Emman. 872 873 hemistichia horum versuum proscripsit Herm. 872 μάψ αὖραι G. ex codd. pro vulgato μαψαῦραι. 873 δ' ἤτοι Herm. G. L. pro vulgato δή τοι. 874 θύουσι θυέλλῃ Emman. 875 ἄλλοτε δ' ἄλλαι ἄεισι G. L. Codices fere omnes habent ἄλλαι ἄησιν, sed ἄλλοτε δ' ἄλλῃ ἄεισιν (Etym. M. p. 22) vel ἀεῖσιν (Schol. Townl. Hom. Il. E 526) ut Aeolicum ex Hesiodo citant Grammatici. 877 συνάντωνται G. L. ex codd. legitur etiam συναντῶνται, συναντῶντες sive, ut vulgo, συναντῶσιν.

XIV. 881—929. Notavi ut compositoris additamenta versus 881—885 887—893, alteri recensioni attribui 912, strophasque ultimas huius sectionis (924—926 927—929) ut minus necessarias ab antecedentibus seiunxi. 884 Ζῆν' G. L. cum maiori codicum numero; Ζῆν habet M 1. Ζῇ P 1. alii Ζῆνα. 888 δή ῥα ἔμελλε, lectionem Galeni, quam habent etiam codices nonnulli, probat post Wolfium Lennepius; δή ῥ' ἤμελλε dedit G. cum vulgata. 890 ἐγκάτθετο G. ex codd. et Galeno; ceteri ἐςκάτθετο, ut dedit etiam L. 892 φρασάτην Herm. G. L. ex codd. ceteri habent vulgatum ἐφρασάτην. 893 al. ἔχοι. 895 πρώτην μὲν ex codd. G. L. pro vulgato πρώτην γὰρ vel πρώτην μὲν γάρ. 899 vulgo ἐςκάτθετο et ita L. 900 ὡς μὴ Taur. probante G. ὡς δ' οἱ συμφράσαιτο Galenus, ὥς οἱ συμφράσσαιτο Herm. Suspectus hic versus

erat Wolfio. 903 ὠρεύουσι G. L. olim ὡραίουσι. 908 ἦτορ ἔχουσα V 1. 909 Ἀγλαΐην τε καὶ G. L. ex codd. ceteri omittunt καί. 916 olim αἱ Μοῦσαι. 922 ἄρην V 1. 924 γλαυκώπιδα γείνατ' Ἀθήνην M 4. et Galenus; vulgatum Τριτογένειαν praefert G. ut Boeotum.

XV. 930—962. Interpolata inde a prima recensione haec sectio mihi videtur versibus 942 et 947—955. Atque hos novem versus (στίχους ἐννέα), non ut Goettlingio (corrigenti στίχους ἑπτά) videbatur 938—944, damnasse Scholiasten, cum Bernhardyo (Hist. litt. gr. II, 1, 191) mihi liquet. 934 ῥινοτόμῳ videtur legisse Scholiastes. 938 φαίδιμον Taur. 945 δ' abest a V 1. 954 955 spurii videbantur Hermanno. 954 ἐν ἀθανάτοισι τελέσσας V 2; ἐνὶ θνητοῖσιν ἀν. placebat Osanno. 956 κλυτῇ edd. veteres.

XVI. 963—1022. Primae recensionis vestigia hic a me notata sunt in versibus 963—968 972—974 988—991, alterius in 964 979—983 et 1014; 964 seclusit G. 974 al. τὸν δὴ et ὤπασε λαόν. 979—983 spurios esse sibi persuaserat ipse Clericus; damnarunt eosdem versus Wolfius Goettl. atque Lennepius. 981 κάλλιστον lepide Bar. 982 Γηρυονέα G. L. ex codd. pluribus; vulgatum Γηρυονῇ probat Herm. 983 βοῶν malebat G. 991 μύχιον P 2 et ita placuit Aristarcho. 1003 al. Νηρηίδες sive Νηρεΐδες, unde G. coni. Νηρ. κοῦραι ἁλίοιο γέρ. 1006 Πηλέϊ G. Πηλεῖ L. cum vulgata. 1014 deest in M 2. 3 et apud Eustathium ad Od. 1796; proscriptus ab Hermanno neque a Lennepio in textu conservatus, frustra defenditur a Goettlingio. Τηλέγονον δ' ἔτικτε hic vulgo legebatur; Τηλέγονόν τε dedit G. ex Vat. M 1. 1015 legebatur olim μυχῶν εἴσω ἱεράων. 1019—1022 desunt in V 2. RS; soli 1021 et 1022 desunt in Taur. M 3. V 1.

CORRIGENDA sunt leviora nonnulla. sicut in textu Theogoniae scribendum esse vs. 3 33 *καί*, 119 *Τάρταρά τ'*, 146 *ἐπ' ἔργῳ*, 229 *Ψεύδεά τε*, 277 *θνητὴ* et *καὶ*, 346 *γένος*, 519 *ἑστηὼς*, 526 *ἄλκιμος*, 543 *'Ιαπετιονίδη*, 687 *τοῦγε*, 969 *Δημήτηρ*, 987 *ἴφθιμον* nemo non videt, male positi sunt in notis cum (p. 31) numeri 36 65 pro 36—65, tum (p. 36) XII pro numero XI. Gravius est, quod versus 65 66 minori specie typorum excusi sunt, cum eandem mediam quam offert 64 monstrare deberent, neque 978 aequales, ut debebat, antecedentibus versibus typos praebet.

